ρης τὰ μὲν πρῶτα φόροις ἀμέτροις ἐπέτριβε τοὺς Χριστια-
νούς, καθότι τοὺς πλείστους ἔγνω ἀκτημοσύνην ἀσκεῖν, καὶ
χαλεποῖς ἀνδράσιν ἐπέτρεψε τὴν εἴσπραξιν, ὥστε ἐνδείᾳ
χρημάτων καὶ ἀπηνείᾳ τῶν εἰσπρακτόρων βιαζομένους ὑπερ-
ιδεῖν τὴν οἰκείαν θρησκείαν· τοῦτο γὰρ αὐτῷ ἐσπουδάζετο.
Μετὰ δὲ ταῦτα τοὺς ἱερέας καὶ λειτουργοὺς τοῦ θεοῦ ἀναιρε-
θῆναι ξίφει προσέταξε, τὰς δὲ ἐκκλησίας κατασκαφῆναι καὶ
τὰ κειμήλια δημόσια γενέσθαι, τὸν δὲ Συμεώνην ἄγεσθαι,
ὡς προδότην τῆς Περσῶν βασιλείας καὶ θρησκείας γεγενη-
μένον. **3** Οἱ μὲν οὖν μάγοι, συλλαμβανομένων αὐτοῖς τῶν
Ἰουδαίων, σπουδῇ τοὺς εὐκτηρίους οἴκους καθεῖλον. Συμεώ-
νης δὲ συλληφθεὶς σιδηροδεσμώτης ὡς βασιλέα ἤχθη· ἔνθα
δὴ γίνεται ἀνὴρ ἀγαθὸς καὶ ἀνδρεῖος. Ἐπεὶ γὰρ βασανίσων
αὐτὸν εἰσάγεσθαι προσέταξεν ὁ Σαβώρης, οὔτε ἔδεισεν οὔτε
προσεκύνησεν. **4** Ἐφ' ᾧ σφόδρα χαλεπήνας ὁ βασιλεὺς
ἐπύθετο· « Τί δή ποτε νῦν οὐ προσεκύνησας, πρότερον τοῦτο
ποιῶν; » « Ὅτι πρότερον, ἔφη ὁ Συμεώνης, οὐ δεσμώτης
ἠγόμην ἐπὶ προδοσίᾳ τοῦ ἀληθοῦς θεοῦ, καὶ μηδὲν διαφε-
957 ρόμενος τὰ νενομισμένα περὶ τὴν βασιλείαν ἐπλήρουν· νῦν
δέ μοι οὐ θέμις τοῦτο ποιεῖν· ἥκω γὰρ ἀγωνιούμενος ὑπὲρ
τῆς εὐσεβείας καὶ τοῦ ἡμετέρου δόγματος. » **5** Τοιαῦτα
εἰπόντα παρεκελεύσατο ὁ βασιλεὺς προσκυνῆσαι τὸν ἥλιον,
καὶ πειθομένῳ μὲν πολλὰ δῶρα δώσειν ὑπισχνεῖτο καὶ ἐν
τιμῇ ἕξειν, ἀπειθοῦντα δὲ ἀπολέσειν ἠπείλησεν αὐτόν τε καὶ
πᾶν τὸ Χριστιανῶν φῦλον. Ἐπεὶ δὲ οὔτε ταῖς ἀπειλαῖς
κατεκτύπει τὸν Συμεώνην οὔτε ταῖς ἐπαγγελίαις ἐμάλασσεν,
ἀλλ' ἀνδρείως ἔμενεν ἰσχυριζόμενος μήποτε προσκυνήσειν